# Language: Ancient Greek
## Book: Titus
## Titus
### Chapter 1
**1** Παῦλος δοῦλος Θεοῦ ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ κατὰ πίστιν ἐκλεκτῶν
Θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ᾽ εὐσέβειαν **2** ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου ἣν
ἐπηγγείλατο ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων **3** ἐφανέρωσεν δὲ καιροῖς
ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ᾽ ἐπιταγὴν τοῦ
Σωτῆρος ἡμῶν Θεοῦ **4** Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν Χάρις καὶ εἰρήνη
ἀπὸ Θεοῦ Πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ Σωτῆρος ἡμῶν **5** Τούτου χάριν
ἀπέλιπόν σε ἐν Κρήτῃ ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ καὶ καταστήσῃς κατὰ
πόλιν πρεσβυτέρους ὡς ἐγώ σοι διεταξάμην **6** εἴ τίς ἐστιν ἀνέγκλητος μιᾶς
γυναικὸς ἀνήρ τέκνα ἔχων πιστά μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα **7** Δεῖ
γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς Θεοῦ οἰκονόμον μὴ αὐθάδη μὴ ὀργίλον
μὴ πάροινον μὴ πλήκτην μὴ αἰσχροκερδῆ **8** ἀλλὰ φιλόξενον φιλάγαθον
σώφρονα δίκαιον ὅσιον ἐγκρατῆ **9** ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ
λόγου ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς
ἀντιλέγοντας ἐλέγχειν **10** Εἰσὶν γὰρ πολλοὶ καὶ ἀνυπότακτοι ματαιολόγοι καὶ
φρεναπάται μάλιστα οἱ ἐκ τῆς περιτομῆς **11** οὓς δεῖ ἐπιστομίζειν οἵτινες ὅλους
οἴκους ἀνατρέπουσιν διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν **12** εἶπέν τις
ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης Κρῆτες ἀεὶ ψεῦσται κακὰ θηρία γαστέρες
ἀργαί **13** Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής δι᾽ ἣν αἰτίαν ἔλεγχε αὐτοὺς
ἀποτόμως ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει **14** μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις
καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν **15** Πάντα καθαρὰ τοῖς
καθαροῖς τοῖς δὲ μεμιαμμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν ἀλλὰ μεμίανται
αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις **16** Θεὸν ὁμολογοῦσιν εἰδέναι τοῖς δὲ ἔργοις
ἀρνοῦνται βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι

---

### Chapter 2
**1** Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ **2** Πρεσβύτας νηφαλίους
εἶναι σεμνούς σώφρονας ὑγιαίνοντας τῇ πίστει τῇ ἀγάπῃ τῇ ὑπομονῇ **3**
πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς μὴ διαβόλους μηδὲ οἴνῳ
πολλῷ δεδουλωμένας καλοδιδασκάλους **4** ἵνα σωφρονίζωσιν τὰς νέας
φιλάνδρους εἶναι φιλοτέκνους **5** σώφρονας ἁγνάς οἰκουργούς ἀγαθάς
ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται **6**
Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν **7** Περὶ πάντα σεαυτὸν
παρεχόμενος τύπον καλῶν ἔργων ἐν τῇ διδασκαλίᾳ ἀφθορίαν σεμνότητα **8**
λόγον ὑγιῆ ἀκατάγνωστον ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ μηδὲν ἔχων λέγειν περὶ
ἡμῶν φαῦλον **9** Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι ἐν πᾶσιν εὐαρέστους
εἶναι μὴ ἀντιλέγοντας **10** μὴ νοσφιζομένους ἀλλὰ πᾶσαν πίστιν


generated on Tue Jul 25 15:42:24 2023

ἐνδεικνυμένους ἀγαθήν ἵνα τὴν διδασκαλίαν τὴν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ
κοσμῶσιν ἐν πᾶσιν 11 Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ σωτήριος πᾶσιν
ἀνθρώποις 12 παιδεύουσα ἡμᾶς ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς
κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν
αἰῶνι 13 προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ
μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ 14 ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ
ἡμῶν ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν
περιούσιον ζηλωτὴν καλῶν ἔργων 15 Ταῦτα λάλει καὶ παρακάλει καὶ ἔλεγχε
μετὰ πάσης ἐπιταγῆς μηδείς σου περιφρονείτω

---

**Chapter 3**
1 Ὑπομίμνῃσκε αὐτοὺς ἀρχαῖς ἐξουσίαις ὑποτάσσεσθαι πειθαρχεῖν πρὸς πᾶν
ἔργον ἀγαθὸν ἑτοίμους εἶναι 2 μηδένα βλασφημεῖν ἀμάχους εἶναι ἐπιεικεῖς
πᾶσαν ἐνδεικνυμένους πραΰτητα πρὸς πάντας ἀνθρώπους 3 Ἦμεν γάρ ποτε
καὶ ἡμεῖς ἀνόητοι ἀπειθεῖς πλανώμενοι δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς
ποικίλαις ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες στυγητοί μισοῦντες ἀλλήλους 4 Ὅτε
δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ 5 οὐκ ἐξ
ἔργων τῶν ἐν δικαιοσύνῃ ἃ ἐποιήσαμεν ἡμεῖς ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος
ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλινγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου
6 οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν 7 ἵνα
δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενηθῶμεν κατ᾽ ἐλπίδα ζωῆς
αἰωνίου 8 Πιστὸς ὁ λόγος καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι ἵνα
φροντίζωσιν καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες Θεῷ ταῦτά ἐστιν
καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις 9 Μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ
ἔρεις καὶ μάχας νομικὰς περιΐστασο εἰσὶν γὰρ ἀνωφελεῖς καὶ μάταιοι 10
αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ 11 εἰδὼς ὅτι
ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος 12 Ὅταν πέμψω
Ἀρτεμᾶν πρὸς σὲ ἢ Τυχικόν σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν ἐκεῖ γὰρ
κέκρικα παραχειμάσαι 13 Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλῶν σπουδαίως
πρόπεμψον ἵνα μηδὲν αὐτοῖς λείπῃ 14 μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν
ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας ἵνα μὴ ὦσιν ἄκαρποι 15
Ἀσπάζονταί σε οἱ μετ᾽ ἐμοῦ πάντες Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει Ἡ
χάρις μετὰ πάντων ὑμῶν

---

## Language: پنجابی
**Book: Titus**
**Titus**
**Chapter 1**
1 ۱۔پولُس، خدا دا بندہ تے یسوع مسیح دا رسُول لئ۔خدا دے برگزیدہ بندیاں دے ایمان تے اوہناں دی حق دی
۲۔اِس ہمیشہ دی زندگی دی اُمید جدا وعدہ اَزل توں خدا نے کیتا لئ 2 پہچان جو دین داری دے مُوافق اَے۔
۳۔تے وقت تے اوہنے اپنا کلام ظاہر کیتا تے مینوں ایس قابل سمجھیا پئی مین اپنے 3 جو کدی جھوٹ نہیں بولدا۔


generated on Tue Jul 25 15:42:24 2023

۴۔ططس، جو ایمان دےحوالےنال سچا فرزند اَےتے4بچاون والےخدا دےحُکم دےوسیلےآگےپہنچا سکاں۔
۵۔اُنوں میں کریتےوچ5اوہدےلُئےساڈےبچاون والےیسوع مسیحتےخدا باپ دےوسیلےفضلتےسلامتی ہوئے۔
ایس واسطےچھڈ آیاں سی تاکہاوں باقی سارےمعمولات نوں دُرست کرےتےنالےمیرےحُکم دےمطابق
۶۔بزرگبےالزام ہوئےاِک بیوی دا شوہر ہوئےتےاوندےبچےایسےایمان دار6شہر شہر بزرگوں نوں مقرر فرمائے۔
۷۔خدا دےگھر دا اِنتظام سنبھالن والےنگابان7ہون جیڑےلاپرواہیتےسرکشی دےالزام توں پاک ہون۔
لئی اےضروری اَےکہپئی اوہبےعیب ہوئےگھمنڈی نہوئے۔چھیتی پئےغصہنہکرے، مَےنوش نہوئے، شور شارہکرن
۸۔سگو مہمان نواز ہوئے، خیر بیلی ہوئے، سمیہدار ہوئے، راست باز ہوئے، خدا8والا نہوئےاور لالچی وی نہوئے۔
۹۔اُنوں چاہیدا اےپئی بھروسےوالےکلام نوں جیڑا انوا سکھایاں گیا لئے9پرستتےاپنےآپتےقابو پان والا ہوئے۔
مضبوطی دےنال پھڑی رکھےنا جو ایس قابل ہوئےکہدوجیاں نوں اچھی تعلیم لئی حوصلہدیوےتا جیڑے
۱۰۔تاجو تیرےلوک سرکش، گلاں کرن والےتےدغاباز ہین10مخالفت کردےہین اونا دی درستگی کرے۔
۱۱۔ایہضروری لئےکہاو جئےلوکاں نوں روکوں جو اپنےنفع دی خاطر لوکاں نوں11خاص کر مختوناں وچ۔
۱۲۔ایناں دےاپنےنبیںےاکھایاں لئے، ’’ کریتی ہمیشہجھوتے،12غلط تعلیم دےکےتےگمراہتےگھر اُجڈ رہےنئے۔
۱۳۔ایہکہناں بالکل درست اےایس واسطےایناں دی13شیطانی جانور،تےکھاپیکےسو رہین والےنے‘‘۔
۱۴۔یہودیاں دی کہانیاںتےلوکاں دےحُکماں14سختی دےنال ہدایت کر و تاکہاو ایمان وچ صیحح ہون۔
۱۵۔جیڑےخالصنےاوہناں لئی سب چیزاں15دےبارےتوجہنہدیویں کیوں جو اوہسچ تو دُور رکھدےہین۔
خالص ہین۔پر جو بد دعانیتتےبےایمان ہین اوہناں لئی کوج وی خالص نہیں ہین۔سگوں اوہناں دی سوچتے
۱۶۔اوہخدا دا اقرار دےکرےہین پر اپنےکاموں توں اوہنا دا انکار کر دے16ضمیر دونویں پئی آلودہہین۔
نئے۔ایہوں جئےلوک حقیر، نافرمانتےکسی وی کم کرن جوگےنہیں ہین۔

---

**Chapter 2**
1
۲۔وڈی عمر والےبندیاں نوں دھیما، عزتدار،2 ۱۔پر تو جو صحیح تعلیم اےایمانداری نال دَس۔
۳۔ایسےطرح وڈی عمر دیاں3احساس پسند، ایمان چےپکا، پہار کرن والاتےاپنی گل چےپکا رہنا سکھا۔
عورتاں نوں و سکھا کہاوٗ عزت دار طریقےنال رہن، نہالزام لون والیاںتےنہشراب (مے) دی عادی ہون۔پر
۴۔ایسےطرح او نوجوان عورتاں دی تربیت کرن گیاں کہاوٗ اپنےبندیاں (شوہر)4اچھائ سکھن والیاں ہون۔
۵۔سمجھدار سچیاں سُگھڑتےاپنےاپنےشوہراں دیاں تابعدار ہوں تاکہخُدا5تےبچیاں (نیانیاں) نوں پیار کرن۔
۷۔ساریاں راہواں7 ۶۔ایسےطرحجواناں نوں وہچنگی سوچ دی ہمت دے۔6دےکلام دیبےعزتی نہو وے۔
وچ اپنےآپ نوں چنگایاں کماں دا نمونہبناکےپیش کر، اپنی (تیری) تعلیم دےذریعےعظمتتےراستبازی
۸تےاک درست پیغام جیہڑا ملامت توں بالاتر ہو وےتاکہر کوئ جیہڑا تیری مُخالفت کرن والا اے8دکھا۔
۹۔غلاماں نوں وی سکھا کہاپنے9شرمندہہو۔کیوں جو اُنا کول داہدےخلاف کرن لئ کوئ گل نہو وے۔
۱۰۔اوہناں دی چوری نہ10مالکان نال بحث نہکرن سگوں ہر گل چےتابعداری کرن تاں جو او خُوش ہو۔
کرن پر اپنا چنگا ایمان وکھا سکھن تاں جو ہر گل توں خُدا جیہڑا ساڈا بچاون والا اےٗ اوہدی تعلیم دی
۱۱۔خُدا دا فضل سارےلوکاں دی نجات لئ ظاہر ہویا اےایہسانوں سکھاندا اےکہدُنیا نوں11عزت ہوےٗ۔
۱۲تےاِس زمانےچےپرہیزگاری، راستبازی خُدا پرستی دی12تےدُنیاوی چیزیاں (شیواں) نوں رد کریے۔
۱۳۔جدوں کہاسی اپنےقادر خُدا (عظیم خُدا)تےاپنےنجات دہندہیسوع مسیح دےجلال دے13زندگی گزاریے۔
۱۴۔یسوعنےاپنےآپ نوں ساڈےواسطے14ظاہر ہون دی مبارک اُمید دےپاون دی اوڈیک رکھدےہوےآن۔
دےدینا پیا سانوں ساریبےشرع زندگی توں چھڈاکےتےاپنےلئ پاک کرےتےاوٗ خاص لوک بنسےجیہڑےچنگے
۱۵۔ایسیاں گلاں لوکاں نوں سکھا، اوہنا دا حوصلہودا کہاِناںتےعمل کرن،15کم کرن لئ بلکل تیارنے۔
اختیار دےنال اُہناں دی درستگی کرتےکوئ تیری حقارت نہکرنےپلئے۔

 generated on Tue Jul 25 15:42:24 2023

## Chapter 3

۲۔[2] ۱۔اوہناں نوں یاد کروا پئی حکومت تےاختیار والیاں دےتابع رہن تےہر اچھا کم کرن لئی تیار رہن۔[1]
کِسےنوں پیڑا نہ آکھیں، لڑائی کرن اچ چھیتی نہ کریں، سگوں صبر نال تہاڈی نرم مزاجی ہر کِسے تےظاہر
۳۔کیوں جو ایک ویلےاسی سارےبےخیلےاور کِسےدےآکھےوچ نئیں ساں۔اسی وی غلط رستےتے[3]ہووے۔
چلدےرہےتےاپنی خواہشاں تےلذتاں دےغلام ساں۔پیڑےکم اور حسد کردےساں، اَسی اک دوجےنوں حقیر
۴۔پر جدوں ساڈےبچاون والےرب دا پیار تےمہربانی[4]جاندےساں اور آپیں وی نفرت انگیز ساں۔
۵۔ایہہ ساڈےراستبازی دےکماں تھوں نئیں جو اسی کردےہاں سگوں اُوہدا[5]انسانیت تےظاہر ہوئی اے۔
۶۔جیڑا خدانےساڈے[6]رحم ہےکہ سانوں نوےجنم دُھوکےاور نوےسرےتوں پاک روح دےوسیلےبچایا وے۔
۷۔تاں جو اسی فضل دےلائق ٹھہرےہاں ُس[7]بچاون والےیسوع مسیح دےوسیلےکثرت نال دِتا وے۔
۸۔ایہہ پیغام بھروسےلائق اے۔میں چاہندا ہاں پئی[8]یقینی امید وچ ابدی حیات دےوارث دی ٹھہر سکیئے۔
توں ایناں گلاں تےزور رکھ تاں جیڑےخدا تےایمان لیائےنےچوکنےہوکےچنگےکماں وچ مصروف رہن۔ایہہ گلاں
۹۔پر تو شریعت دےبارےاحمقانہ بحث، نسب نامے، جھگڑےتےتکرار توں[9]سب لئی چنگیاں تےمفید ہین۔
۱۰۔جیڑا تفرقہ پانوں چاہندا وےایسےبندےنوں[10]بچ کیوں جو ایہہ غیر منافع بخش اور بےقیمت چیزاں ہین۔
۱۱۔جان لےکہ اوہ بندہ سِدھےرستےتو پرت گیا اے۔گناہ کردا پیا[11]ایک یا دو دفعہ تنبیہ کرن تو بعد رد کر دے۔
۱۲۔جدوں میں تیرےول اَرتَمس یا تخکس نُوں کہلاں تےنکو پولوس جتھے[12]وےتےاپنی ہلاکت چاہندا اے۔
۱۳۔تےزینس ویکیل نےاپولس نوں پچھن دی ہر[13]میں سیال کٹن دا ارادہ کر لیا وےاون وچ چھیتی کریں۔
۱۴۔ساڈےلوکاں نوں ضرور سِکھنا[14]ممکن کوشش کریں تاں جو اوہناں نوں کِسی شےدا کاٹا نہ ہوؤے۔
چاہئدا اےپئی اپنےآپ نوں چنگےکماں وچ جنہاں دی وجہ توں فوری ضورتاں پوری ہوندیاں نےمصروف
۱۵۔میر ےنال جِنےوی نےسارےہی سلام آکھدےہین تےاوہناں نوں سلام[15]رکھّن تاں جوبےپھل نہ رہن۔
جیڑےمسیح وچ سانوں پیار کردےہین۔ہون تہاڈےسبھو نال (خدا) دا فضل ہوئے۔


generated on Tue Jul 25 15:42:24 2023